16. καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ οὐκ ἔστιν εἰρήνη
22. 28. ὁρῶντες μάταια, μαντευόμενοι ψευδῆ.
Amos. 7. 12. ὁ ὁρῶν βάδιζε, ἐκχώρισον σὺ εἰς γῆν ἰούδα
Michæ. 3. 7. καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια

3. חזה *Chald.*

Dan. 3. 26. ὧδε ἐγὼ ὁρῶ. ἄνδρας τέσσαρας λελυμένους

4. חלום *ſomnio.*

Gen. 41. 15. ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτὸ

5. עין *oculus.*

Job. 10. 4. ἢ ὥσπερ βροτὸς ὁρᾷ, καθορᾷς;

6. ראה

Gen. 13. 15. ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν
26. 28. ἰδόντες σε ἑωράκαμεν ὅτι ἦν κύριος μετὰ σοῦ
27. 1. καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾷν
29. 2. καὶ ὁρᾷ, καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ
31. 5. ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν
12. ἑώρακα γὰρ ὅσα σοὶ λάβαν ποιεῖ
43. καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι
Exod. 2. 6. ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβῃ
11. ὁρᾷ ἄνθρωπον αἰγύπτιον τύπτοντα τινά.
12. οὐχ ὁρᾷ οὐδένα, καὶ πατάξας τὸν αἰγύπτιον
3. 2. καὶ ὁρᾷ ὅτι ἡ βάτος καίεται πυρί.
10. κἀγὼ ἑώρακα τὸν θλιμμὸν, ὃν οἱ αἰγύπτιοι.
4. 21. ὅρα πάντα τὰ τέρατα. ποιήσεις αὐτά.
5. 19. ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν ἰσραήλ.
10. 6. ὃ οὐδέποτε ἑωράκασιν οἱ πατέρες σου
14. 13. θαρσεῖτε, στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν.
ὃν τρόπον γὰρ ἑωράκατε τοὺς αἰγυπτίους.
19. 4. αὐτοὶ ἑωράκατε ὅσα πεποίηκα τοῖς αἰγυπτίοις
20. 18. πᾶς δὲ ὁ λαὸς ἑώρα τὴν φωνήν.
22. ὑμεῖς ἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα.
25. 40. ὅρα, ποιήσεις κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι.
32. 18. ἡνίκα δὲ ἤγγιζε. ὁρᾷ τὸν μόσχον, καὶ τοὺς χοροὺς
33. 10. καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στύλον τῆς νεφέλης.
Levit. 5. 1. καὶ οὗτος μάρτυς, ἢ ἑώρακεν, ἢ σύνοιδεν.
14. 35. ὥσπερ ἁφὴ ἑώραταί μοι ἐν τῇ οἰκίᾳ
Num. 13. 29. καὶ τὴν γενεὰν ἐνὰκ ἑωράκαμεν ἐκεῖ
33. καὶ πᾶς ὁ λαὸς ὃν ἑωράκαμεν ἐπ' αὐτῆς.
34. καὶ ἐκεῖ ἑωράκαμεν τοὺς γίγαντας
14. 22. οἱ ὁρῶντες τὴν δόξαν μου, καὶ τὰ σημεῖα.
22. 31. καὶ ὁρᾷ τὸν ἄγγελον κυρίου ἀνθεστηκότα.
Deut. 1. 28. ἀλλὰ καὶ υἱοὺς γιγάντων ἑωράκαμεν ἐκεῖ
3. 21. οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα.
28. κατακληρονομήσει. πᾶσαν τὴν γῆν ἣν ἑώρακας
4. 3. οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα ὅσα.
9. τοὺς λόγους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου
9. 13. ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχ.
11. 7. ὅτι οἱ ὀφθαλμοὶ ὑμῶν ἑώρων πάντα τὰ ἔργα.
21. 7. καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν
29. 2. ὑμεῖς ἑωράκατε πάντα ὅσα ἐποίησε κύριος.
3. τοὺς πειρασμοὺς. οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου
33. 9. οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.
Joſu. 23. 3. ὑμεῖς δὲ ἑωράκατε σύμπαντα ὅσα ἐποίησε.
Jud. 9. 36. καὶ τὴν σκιὰν τῶν ὀρέων σὺ ὁρᾷς ὡς ἄνδρας
13. 22. θανάτῳ ἀποθανούμεθα, ὅτι θεὸν ἑωράκαμεν

[εἴδομεν *alii.*]

14. 2. καὶ εἶπε, γυναῖκα ἑώρακα ἐν θαμναθᾷ.
18. 9. ὅτι ἑωράκαμεν τὴν γῆν, καὶ ἰδοὺ ἀγαθὴ

Jud. 19. 30. καὶ ἐγένετο πᾶς ὁ ὁρῶν ἔλεγεν, οὔτε ἐγενήθη.

[βλέπων *alii.*]

1 Reg. 6. 16. καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων
10. 24. ἑωράκατε ὃν ἐκλέλεκται αὐτῷ ὁ θεὸς
16. 1. ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα
18. ἰδοὺ ἑώρακα υἱὸν τοῦ ἰεσσαὶ βηθλεεμίτην
17. 25. εἰ ἑωράκατε τὸν ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον
22. 9. ἑώρακα τὸν ἰεσσαὶ παραγινόμενον εἰς νομβᾶ.
24. 11. ἑωράκασιν οἱ ὀφθαλμοί μου, ὡς παρέδωκέ σε.
28. 13. μὴ φοβοῦ, εἶπον τίνα ἑώρακας, καὶ εἶπεν αὐτῷ
ἡ γυνὴ, θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς
2 Reg. 18. 10. ἰδοὺ ἑώρακα τὸν ἀβεσσαλὼμ κρεμάμενον.
11. καὶ ἰδοὺ ἑώρακας, καὶ τί ὅτι οὐκ ἐπάταξας αὐτόν.
27. ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ πρώτου, ὡς δρόμον ἀχ.
24. 3. καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου. ὁρῶντες

[βλέποντες *alii.*]

3 Reg. 10. 7. ἑωράκασιν οἱ ὀφθαλμοί μου, καὶ ἰδοὺ οὐκ ἔστι.
20. 13. εἰ ἑώρακας πάντα τὸν ὄχλον τὸν μέγαν τοῦτον;
21. 28. ἑώρακας ὡς κατενύγη ἀχαὰβ ἀπὸ προσώπου μου;
22. 17. ἑώρακα πάντα τὸν ἰσραὴλ διεσπαρμένον.
4 Reg. 2. 12. καὶ ἐλισσαιὲ ἑώρα, καὶ αὐτὸς ἐβόα.
23. 17. καὶ εἶπε, τί τὸ σκόπελον ἐκεῖνο ὃ ἐγὼ ὁρῶ;
24. 39. καὶ πέντε ἄνδρας τῶν ὁρώντων τὸ πρόσωπον.
1 Para. 9. 23. τούτους ἔστησε δαβὶδ καὶ σαμουὴλ ὁ ὁρῶν.
2 Para. 7. 3. καὶ πάντες οἱ υἱοὶ ἰσρ. ἑώρων καταβαῖνον τὸ πῦρ.
29. 8. ὡς ὑμεῖς ὁρᾶτε τοῖς ὀφθαλμοῖς ὑμῶν
30. 7. καὶ παρέδωκεν αὐτοὺς. καθὼς ὑμεῖς ὁρᾶτε
Eſth. 7. 7. ἑώρα γὰρ αὐτὸν ἐν κακοῖς ὄντα
Job. 2. 13. ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν
5. 3. ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας
7. 8. οὐκ ὅτι περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με
8. 19. οὐχ ἑώρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς.
10. 4. ἢ ὥσπερ βροτὸς ὁρᾷ, καθορᾷς;
19. 27. ἃ ὁ ὀφθαλμός μου ἑώρακε, καὶ οὐκ ἄλλος
22. 14. νεφέλη ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται
31. 26. ἢ οὐχ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα.
38. 22. θησαυροὺς δὲ χαλάζης ἑώρακας
41. 26. πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸν δὲ βασιλεὺς πάντων.
42. 5. νῦν δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε
Prov. 20. 15. οὖς ἀκούει, καὶ ὀφθαλμὸς ὁρᾷ κυρίου ἔργα.
Eccleſ. 1. 8. καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾷν.
Eſa. 29. 15. καὶ ἐροῦσι, τίς ἑώρακεν ἡμᾶς;
57. 18. τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτὸν
61. 9. πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς
66. 8. τίς ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως;
19. οὔτε ἑωράκασί μου τὴν δόξαν.
Jerem. 1. 11. τί σὺ ὁρᾷς ἱερεμία; καὶ εἶπα, βακτηρίαν.
12. καλῶς ἑώρακας, διότι ἐγρήγορκα ἐγώ.
13. καὶ ἐγένετο λόγος κυρίου. λέγων, τί σὺ ὁρᾷς;
καὶ εἶπα, λέβητα ὑποκαιόμενον ἐγὼ ὁρῶ.
7. 10. καὶ ἰδοὺ ἐγὼ ἑώρακα, λέγει κύριος
16. ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν ἰούδα
13. 27. καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά σου
23. 14. καὶ ἐν τοῖς προφήταις ἱερουσ. ἑώρακα φρικτά.
30. 6. διότι ἑώρακα πάντα ἄνθρωπον
44. 2. ὑμεῖς ἑωράκατε πάντα τὰ κακά.
Ezech. 8. 6. υἱὲ ἀνθρώπου, ἑώρακας τί οὗτοι ποιοῦσιν;
12. υἱὲ ἀνθρώπου ἑώρακας ἃ οἱ πρεσβύτεροι.
15, 17. καὶ εἶπε πρὸς μὲ, ἑώρακας υἱὲ ἀνθρώπου;
12. 2. οἱ ἔχουσιν ὀφθαλμοὺς τοῦ ὁρᾷν, καὶ οὐ βλέπουσι
12. συγκαλύψει, ὅπως μὴ ὁραθῇ ὀφθαλμῷ.
21. 24. τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν ἐν πάσαις.
28. 18. ἐναντίον πάντων τῶν ὁρώντων σε
40. 4. καὶ εἶπε πρὸς μὲ ὁ ἀνὴρ, ἑώρακας υἱὲ ἀνθρώπου;
καὶ δείξεις πάντα ὅσα σὺ ὁρᾷς τῷ οἴκῳ ἰσραὴλ
47. 6. καὶ εἶπε πρὸς μὲ, εἰ ἑώρακας υἱὲ ἀνθρώπου;
Dan. 1. 15. καὶ ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραί.
Amos. 7. 8. εἶπε κύριος πρὸς με, τί σὺ ὁρᾷς;
Nahu. 3. 7. καὶ ἔσται, πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ.
Hab. 1. 13. καθαρὸς ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾷν πονηρά.
Zach. 1. 8. ἑώρακα κατὰ τὴν νύκτα, καὶ ἰδοὺ ἀνήρ.
4. 2. καὶ εἶπα, ἑώρακα, καὶ ἰδοὺ λυχνία.
5. 2. καὶ εἶπον, ἐγὼ ὁρῶ δρέπανον πετόμενον μήκους.
9. 8. διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου.

7. ראות *aſpectus.*

Eccleſ. 5. 10. ὅτι ἀρχὴ τοῦ ὁρᾷν ὀφθαλμοῖς αὐτοῦ.

[θεωρία *Sym.*]

8. *ex var. interpret.*

[ἑωράκατε *alii.* 4 Reg. 6. 32.] *Vide* εἴδω.

9. οὐ

9. *ubi nihil extat in Heb. textu.*

Num. 24. 4. ὁρῶν ὅςις ὅρασιν θεοῦ εἶδεν.
15. φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινὸς ὁρῶν.

10. *Add. ex lib. apocr.*

Syr. 16. 6. πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀφθαλμοῖς μου
23. 23. λέγων ἐν τῇ ψυχῇ αὐτοῦ, τίς με ὁρᾷ
24. καὶ οὐδείς με ὁρᾷ, τί εὐλαβοῦμαι;
34. 11. πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου
37. 27. καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες
42. 21. καὶ ἃ ἑώρακα ἐκδιηγήσομαι
33. καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;
43. 37. τίς ἑώρακεν αὐτὸν, καὶ ἐκδιηγήσεται;
38. ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ
Susan. 12. παρετήρησαν φιλοτίμως καθημέραν ὁρᾷν αὐτὴν
2Mac. 3. 16. ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν.
4. 6. ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας
12. 42. ὑπ' ὄψιν ἑωρακότας τὰ γεγονότα.

Ὀργανικός. Instrumentalis. *Add. ex lib. ap.*

2Mac. 12. 15. καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα.

ὄργανον. Instrumentum, *& in ſpecie* muſicum inſtrumentum, *vulgò dictum* organum.

1. כְּלִי

1Par. 15. 16. ςῆσαι. τοὺς ψαλτῳδοὺς ἐν ὀργάνοις ᾠδῶν
16. 5. καὶ ἰεειὴλ ἐν ὀργάνοις, νάβλαις καὶ κινύραις
42. καὶ κύμβαλα. καὶ ὄργανα τῶν ᾠδῶν τοῦ θεοῦ.
23. 5. αἰνοῦντες τὸν κύριον ἐν ὀργάνοις οἷς ἐποίησαν.
2Para. 5. 12. καὶ ὡς ὕψωσαν φωνὴν. καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν
7. 6. καὶ οἱ λευῖται ἐν ὀργάνοις ᾠδῶν κυρίου.
23. 13. καὶ οἱ ᾄδοντες ἐν τοῖς ὀργάνοις ᾠδαὶ
29. 26. καὶ ἔςησαν οἱ λευῖται ἐν ὀργάνοις δαβίδ.
27. καὶ αἱ σάλπιγγες πρὸς τὰ ὄργανα δαβίδ.
30. 21. καὶ οἱ ἱερεῖς ἐν ὀργάνοις ἰσχύος τῷ κυρίῳ
34. 12. καὶ πᾶς συνιῶν ἐν ὀργάνοις ᾠδῶν.

2. כִּנּוֹר *cithara.*

• Pſal. 136. 2. ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

3. נֵבֶל *nablium.*

Amos. 5. 23. καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι
6. 5. οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων.

4. עֻגָב

Pſal. 150. 4. αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
[κιθάρας *alii.*]

5. *Add. ex lib. apocr.*

2Mac. 12. 27. ἐνθάδε ὀργάνων καὶ βελῶν πολλαὶ παραθέσεις
13. 5. οὗτος δὲ ὄργανον εἶχε περιφερὲς πάντοθεν.
Vide, ὄργανα ἡρμοσμένα *in* Ἁρμόζω.

Ὀργή. Ira. 1. אַף

Gen. 27. 44. ἕως τοῦ ἀποςρέψ. τὸν θυμ. καὶ τὴν ὀργὴν τοῦ ἀδ. σου.
Exod. 4. 14. καὶ θυμωθεὶς ὀργῇ κύριος ἐπὶ μωϋσῆν, εἶπεν.
32. 9. καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτοὺς
10. ἵνα τί κύριε θυμοῖ ὀργῇ εἰς τὸν λαόν σου.
Num. 11. 1. καὶ ἤκουσε κύριος καὶ ἐθυμώθη ὀργῇ
10. καὶ ἐθυμώθη ὀργῇ κύριος σφόδρα.
33. καὶ κύριος ἐθυμώθη ὀργῇ σφόδρα.
12. 9. καὶ ὀργὴ θυμοῦ κυρίου ἐπ' αὐτοὺς, καὶ ἀπῆλθον
25. 4. καὶ ἀποςραφήσεται ὀργὴ θυμοῦ κυρίου.
32. 14. προσθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀργῆς κυρίου.
Deut. 9. 19. καὶ ἐκφοβός εἰμι διὰ τὸν θυμὸν καὶ τὴν ὀργήν.
13. 17. ἵνα ἀποςραφῇ κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ.
29. 20. τότε ἐκκαυθήσεται ὀργὴ κυρίου, καὶ ὁ ζῆλος αὐτοῦ.
24. τίς ὁ θυμὸς τῆς ὀργῆς ὁ μέγας οὗτος;
33. 10. ἐπιθήσουσι θυμίαμα ἐν ὀργῇ σου διαπαντός.
Joſ. 7. 1. καὶ ἐθυμώθη κύριος ὀργῇ τοῖς υἱοῖς ἰσραὴλ
26. καὶ ἐπαύσατο κύριος τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ
Jud. 9. 30. καὶ ἤκουσε ζεβοὺλ ὁ ἄρχων. καὶ ἐθυμώθη ὀργῇ
10. 7. καὶ ἐθυμώθη ὀργῇ κύριος ἐν τῷ ἰσραήλ.
14. 19. καὶ ἐθυμώθη ὀργῇ σαμψὼν, καὶ ἀνέβη εἰς τὸν οἶκον.
1Reg. 11. 6. καὶ ἐθυμώθη ἐπ' αὐτοὺς ὀργὴ αὐτοῦ σφόδρα
20. 29. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ ἐπὶ ἰωνάθαν σφόδρα.
28. 18. καὶ οὐκ ἔπλησας θυμὸν ὀργῆς αὐτοῦ ἐν ἀμαλήκ.
2Reg. 6. 7. καὶ ἐθυμώθη ὀργῇ κύριος τῷ ὀζᾷ, καὶ ἔπαισεν αὐτόν.
12. 5. καὶ ἐθυμώθη ὀργῇ δαβὶδ σφόδρα τῷ ἀνδρί.
22. 9. καὶ ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ.
24. 1. καὶ προσέθετο ὀργὴν κύριος ἐκκαῆναι ἰσραὴλ

4Reg. 23. 26. πλὴν οὐκ ἀπεςράφη κύριος ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ τῆς μεγάλης οὗ ἐθυμώθη ὀργῇ αὐτοῦ ἐν τῷ ἰούδα
1Par. 13. 10. καὶ ἐθυμώθη κύριος ὀργῇ ἐπὶ ὀζά.
2Par. 12. 12. ἀπεςράφη ἀπ' αὐτοῦ ὀργὴ κυρίου.
25. 10. καὶ ἐθυμώθησαν τῇ ὀργῇ αὐτῶν σφόδρα.
28. 11. ὅτι ὀργὴ θυμοῦ κυρίου ἐφ' ὑμῖν.
30. 8. καὶ ἀποςρέψει ἀφ' ὑμῶν θυμὸν ὀργῆς.
Job. 4. 9. ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται.
9. 5. ὁ παλαιῶν ὄρη. ὁ καταςρέφων αὐτὰ ὀργῇ.
13. αὐτὸς γὰρ ἀπέςραπται ὀργήν.
14. 13. ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργή.
16. 9. ὀργῇ χρησάμενος κατέβαλέ με.
18. 4. κέχρηταί σοι ὀργὴ, τί γὰρ ἐὰν σὺ ἀποθάνῃς.
19. 11. δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο, ἡγήσατο δέ με.
20. 23. ἐπαποςελεῖ ἐπ' αὐτὸν θυμὸν ὀργῆς.
28. ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ.
21. 17. ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς.
35. 15. ὅτι οὐκ ἔςιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ.
40. 6. ἀπόςειλον δὲ ἀγγέλους ὀργῇ, πάντα δὲ ὑβριςὴν.
Pſalm. 2. 5. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ.
6. 2. μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με
7. 6. ἀνάςηθι κύριε ἐν ὀργῇ σου, ὑψώθητι.
9. 25. ὁ ἁμαρτωλὸς, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ.
17. 10. ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ.
18. ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.
20. 10. κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς.
26. 14. καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.
36. 8. παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν.
54. 3. ὅτι ἐξέκλιναν. καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
55. 7. ὑπὲρ τοῦ μηθενὸς σώσεις. ἐν ὀργῇ λαοὺς κατάξεις.
68. 29. καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.
75. 7. τίς ἀντιςήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου.
76. 9. ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;
77. 25. καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν ἰσραήλ.
34. καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτούς.
55. ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ.
84. 3. κατέπαυσας πᾶσαν τὴν ὀργήν σου.
5. ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;
89. 7. ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου
94. 12. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται.
109. 6. συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.
137. 8. ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου
Prov. 15. 1. λόγος δὲ λυπηρὸς ἐγείρει ὀργὰς
21. 14. δόσις λάθριος ἀνατρέπει ὀργάς.
27. 4. ἀνελεήμων θυμὸς, καὶ ὀξεῖα ὀργή.
29. 8. σοφοὶ δὲ ἀπέςρεψαν ὀργήν.
Eſa. 5. 25. καὶ ἐθυμώθη ὀργῇ κύριος σαβ. ἐπὶ τὸν λαὸν αὐτοῦ
10. 4. καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεςράφη ἡ ὀργή.
13. 9. καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ἔρημον.
30. 30. δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς, καὶ φλογός.
63. 6. καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου.
Jerem. 4. 8. οὐκ ἀπεςράφη ὁ θυμὸς ὀργῆς κυρίου ἀφ' ὑμῶν
7. 19. ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν τόπον.
32. 31. ὅτι ἐπὶ τὴν ὀργήν μου, καὶ ἐπὶ τὸν θυμόν μου.
37. οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου.
33. 5. οὓς ἐπάταξα ἐν ὀργῇ μου, καὶ ἐν θυμῷ μου.
44. 6. καὶ ἔςαξεν ὁ θυμός μου, καὶ ἡ ὀργή μου.
Thren. 2. 1. πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγ. σιών. καὶ οὐκ ἐμνήσθη ὑποποδίου. ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ;
6. καὶ παρώξυνεν ἐμβριμήματι ὀργῆς αὐτοῦ.
21. ἀπέκτεινας ἐν ἡμέρᾳ ὀργῆς σου, ἐμαγείρευσας.
22. καὶ οὐκ ἐγένετο ἐν ἡμέρᾳ ὀργῆς κυρίου.
3. 65. σὺ αὐτοὺς καταδιώξεις ἐν ὀργῇ, καὶ ἐξαναλώσεις.
Ezech. 5. 15. ἐν τῷ ποιῆσαί με. κρίματα, ἐν ὀργῇ, καὶ ἐν θυμῷ
13. 13. καὶ ὑετὸς κατακλύζων ἐν ὀργῇ μου ἔςαι.
20. 8, 21. τοῦ συντελέσαι τὴν ὀργήν μου ἐν αὐτοῖς.
22. 20. οὕτως εἰσδέξομαι ἐν ὀργῇ μου, καὶ συνάξω.
25. 14. καὶ ποιήσουσιν ἐπὶ τῇ ἰδουμαίᾳ κατὰ τὴν ὀργήν μου.
Oſee. 13. 11. καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου, καὶ ἀνέσχον.
14. 5. διότι ἀπέςρεψεν ἡ ὀργή μου ἀπ' αὐτῶν.
Amos. 4. 10. καὶ ἀνήγαγον. τὰς παρεμβ. ὑμῶν ἐν ὀργῇ μου
Michæ. 5. 15. καὶ ποιήσω ἐν ὀργῇ καὶ ἐν θυμῷ ἐκδίκησιν
7. 18. οὐκ ἐκράτησεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ
Zepho. 2. 2. πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν ὀργῆς.
3. ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς κυρίου

2. זַעַם *indignatio.*

Pſal. 37. 3. οὐκ ἔςιν ἴασις. ἀπὸ προσώπου τῆς ὀργῆς σου.
[ἐμβριμήσεως *Aq. Sym.*]
68. 29. ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου.
77. 54. ἐξαπέςειλεν εἰς αὐτοὺς. θυμὸν καὶ ὀργὴν καὶ θλίψιν.
101. 11. ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου.

Eſa. 10. 5.

Eſa. 10. 5. ἡ ῥάβδ. τοῦ θυμοῦ μου, καὶ ὀργῆς ἐςὶν ἐν ταῖς χερσίν.
25. ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργή.
26. 20. ἀποκρύβηθι. ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου.
30. 27. καιόμενος θυμὸς. τὸ λόγιον ὀργῆς πλῆρες.
Jere. 50. 25. καὶ ἐξήνεγκε τὰ σκεύη ὀργῆς αὐτοῦ.
Ezec. 21. 31. καὶ ἐκχεῶ ἐπὶ σὲ τὴν ὀργήν μου.
22. 24. οὐδὲ ὑετὸς καταβήσεται ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς.
Dan. 8. 19. γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς.
11. 36. καὶ κατευθυνεῖ μέχρις οὗ συντελεσθῇ ἡ ὀργὴ
Nahu. 1. 6. ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποςήσεται;
Sopho. 3. 9. τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου.

3. זַעַף idem.

2Par. 28. 9. καὶ ἀπεκτείνατε ἐν αὐτοῖς ἐν ὀργῇ.
Michæ. 7. 9. ὀργὴν κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ.

4. חֱמָא Chald. æſtus iræ.

Dan. 3. 13. ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν σεδράχ.

5. חֶמְאָה butyrum. (hic leg. חֵמָה)

Pſal. 54. 23. διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ

6. חֵמָה idem.

Deut. 9. 19. καὶ ἔκφοβός εἰμι διὰ τὸν θυμὸν καὶ τὴν ὀργήν.
29. 23. ὡς κατέςρεψε κύριος ἐν θυμῷ καὶ ὀργῇ αὐτοῦ.
28. καὶ ἐξῆρεν αὐτοὺς κύριος. ἐν θυμῷ καὶ ὀργῇ.
4Reg. 22. 13. ὅτι μεγάλη ἡ ὀργὴ κυρίου ἐκκεκαυμένη.
2Par. 28. 9. ἰδοὺ ὀργὴ κυρίου τοῦ θεοῦ τῶν πατέρων ἡμῶν.
Pſalm. 6. 1. }
37. 1. } μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με
58. 14. ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι.
77. 43. καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ
78. 6. ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη.
88. 45. ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;
Prov. 21. 14. δόσις λάθριος ἀνατρέπει ὀργάς.
Eſa. 34. 2. καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμ. αὐτῶν τοῦ ἀπολέσαι αὐτοὺς
42. 25. καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ.
Jere. 21. 5. ἐν βραχίονι κραταιῷ μετὰ θυμοῦ καὶ ὀργῆς.
12. ὅπως μὴ ἀνακαλυφθῇ ὡς πῦρ ἡ ὀργή μου.
23. 19. καὶ ὀργὴ ἐκπορεύεται εἰς συσσεισμόν.
36. 7. ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ κυρίου.
Ezech. 5. 13. καὶ συντελεσθήσεται ὁ θυμός μου, καὶ ἡ ὀργή μου.
ἐν τῷ συντελέσαί με τὴν ὀργήν μου ἐπ' αὐτούς.
6. 12. καὶ συντελέσω τὴν ὀργήν μου ἐπ' αὐτούς.
7. 8. νῦν ἐγγύθεν ἐκχεῶ τὴν ὀργήν μου ἐπὶ σέ.
Dan. 9. 16. ἀποςραφήτω δὴ ὁ θυμός σου, καὶ ἡ ὀργή σου.

7. חֳרִי idem.

1Reg. 20. 33. καὶ ἀνεπήδησεν ἀπὸ τῆς τραπέζης ἐν ὀργῇ θυμοῦ.
2Par. 25. 10. καὶ ἀπέςρεψαν εἰς τὸν τόπον ἑαυτῶν ἐν ὀργῇ θυμοῦ
Eſa. 7. 4. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ γένηται.
Thren. 2. 3. συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας ἰσρ.

8. חָרוֹן idem.

Exod. 15. 7. ἀπέςειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτούς.
32. 11. παῦσαι τῆς ὀργῆς τοῦ θυμοῦ σου, καὶ ἵλεως γενοῦ.
Num. 25. 4. καὶ ἀποςραφήσεται ὀργὴ θυμοῦ κυρίου.
2Par. 29. 10. καὶ ἀποςρέψει τὴν ὀργὴν τοῦ θυμοῦ αὐτοῦ.
Eſd. 10. 14. τοῦ ἀποςρέψαι ὀργὴν θυμοῦ θεοῦ ἡμῶν.
Neh. 13. 18. καὶ ὑμεῖς προςίθετε ὀργὴν ἐπὶ ἰσραήλ.
Job. 20. 23. ἐπαποςελεῖ ἐπ' αὐτὸν θυμὸν ὀργῆς.
Pſal. 57. 9. ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς
77. 54. ἐξαπέςειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ.
84. 3. ἀπέςρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.
87. 17. ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου.
Eſa. 13. 13. ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ.
Jerem. 4. 26. καὶ ἀπὸ προσώπου ὀργῆς θυμοῦ αὐτοῦ ἠφανίσθησαν
25. 37. καὶ παύσεται. ἀπὸ προσώπου ὀργῆς θυμοῦ μου.
30. 20. οὐ μὴ ἀποςραφῇ ὀργὴ θυμοῦ κυρίου.
49. 36. καὶ ἐπ. ἐπ' αὐτ. κακ. κατὰ τὴν ὀργὴν τοῦ θυμ. μου §.
Thren. 1. 13. ἐταπείνωσέ με κύριος ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ
Ezech. 7. 12. ὅτι ὀργὴ εἰς πᾶν τὸ πλῆθος αὐτῆς.
14. ὅτι ὀργή μου ἐπὶ πᾶν τὸ πλῆθος αὐτῆς.
Oſeæ. 11. 10. οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου.
Jonæ. 3. 9. καὶ ἀποςρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ.
Nahu. 1. 6. καὶ τίς ἀντιςήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ;
Sopho. 3. 9. τοῦ ἐκχέαι ἐπ' αὐτούς. πᾶσαν ὀργὴν θυμοῦ μου

9. חֲרוֹן אַף

2Par. 28. 13. καὶ ὀργὴ κυρίου ἐπὶ τὸν ἰσραήλ.
Sopho. 2. 2. πρὸ τοῦ ἐλθεῖν ἐφ' ὑμᾶς ὀργὴν κυρίου.

10. כַּעַס : כַּעַשׂ (שׂ pro ס) indignatio.

Deut. 32. 19. καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν.
27. εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι

Job. 5. 2. καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή.
6. 2. εἰ γάρ τις ἱςῶν ςήσαι μου τὴν ὀργήν.
10. 17. ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω.
17. 7. πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου.
Pſal. 84. 5. ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς.
Prov. 12. 17. ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ.
[θυμὸν alii.]
17. 26. ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ.
27. 3. ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων

11. מְזִמָּה cogitatio.

Jere. 51. 11. ὅτι εἰς βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ τοῦ ἐξολοθρεῦσαι.

12. מַחְמָאוֹת plur. butyrina.
(hic leg. חֵמָה)

Pſal. 54. 23. διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου.

13. מַשָּׂא onus.

Num. 11. 11. ἐπιθεῖναι τὴν ὀργὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ.

14. נְאָצָה irritatio contumelioſa.

Eſa. 37. 3. ἡμέρα θλίψεως. καὶ ὀργῆς ἡ σήμερον ἡμέρα.

15. סוּפָה turbo.

Pſal. 82. 14. καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς.

16. סַעַר procella.

Jere. 30. 19. ἐξῆλθεν ὀργὴ τρεφομένη.

17. סְעָרָה idem.

Jere. 30. 19. ὅτι ὀργὴ κυρίου θυμώδης.

18. עֶבְרָה excandeſcentia.

Job. 21. 30. εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσεται.
Pſal. 84. 3. κατέπαυσας πᾶσαν τὴν ὀργήν σου
89. 9. καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν
Eſa. 10. 6. τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποςελῶ.
Ezech. 7. 19. οὐ δυνήσεται ἐξελέσθαι. ἐν ἡμέρᾳ ὀργῆς κυρίου
21. 31. ἐν πυρὶ ὀργῆς μου ἐμφυσήσω ἐπὶ σέ.
22. 21. ἐμφυσήσω ἐφ' ὑμᾶς ἐν πυρὶ ὀργῆς μου.
31. καὶ ἐξέχεα ἐπ' αὐτήν. ἐν πυρὶ ὀργῆς μου
38. 19. καὶ ὁ ζῆλός μου, ἐν πυρὶ ὀργῆς μου ἐλάλησα
Sopho. 1. 16. ἡμέρα ὀργῆς, ἡ ἡμέρα ἐκείνη.
19. μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμ. ὀργῆς κυρίου

19. עָוֹן iniquitas.

Eſa. 26. 21. κύριος. ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας.

20. קָצַף efferveſco.

Num. 16. 22. ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἡ ὀργὴ κυρίου;
Joſu. 22. 18. ἐπὶ πάντα ἰσραὴλ ἔςαι ἡ ὀργὴ κυρίου

21. קֶצֶף fervor.

Num. 16. 46. ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου κυρίου
Joſ. 9. 20. οὐκ ἔςαι μεθ' ἡμῶν ὀργὴ διὰ τὸν ὅρκον.
22. 20. καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἰσρ. ἐγενήθη ἡ ὀργή;
1Par. 27. 24. καὶ ἐγένετο ἐν τούτοις ἡ ὀργὴ ἐπὶ τὸν ἰσραὴλ
2Par. 19. 2. διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργή.
10. καὶ οὐκ ἔςαι ὀργὴ ἐφ' ὑμᾶς.
24. 18. καὶ ἐγένετο ὀργὴ ἐπὶ ἰούδαν καὶ ἐπὶ ἱερουσαλήμ.
32. 25. ἐγένετο ἐπ' αὐτὸν ὀργὴ, καὶ ἐπὶ ἰούδαν
26. καὶ οὐκ ἐπῆλθεν ἐπ' αὐτοὺς ὀργὴ κυρίου.
Eſa. 60. 10. διὰ γὰρ ὀργήν μου ἐπάταξά σε
Jere. 21. 5. καὶ πολεμήσω. μετὰ θυμοῦ καὶ ὀργῆς μεγάλης
[παροργισμοῦ alii.]
50. 13. ἀπὸ ὀργῆς κυρίου οὐ κατοικηθήσεται
Zach. 1. 2. ὠργίσθη κύ. ἐπὶ τοὺς πατ. ὑμῶν ὀργὴν μεγάλην
15. καὶ ὀργὴν μεγάλην ὀργίζομαι ἐπὶ τὰ ἔθνη.
7. 12. καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου.

22. קְצַף Chald. infin. vel nomen.

Dan. 2. 12. τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ

23. רֹגֶז commotio.

Job. 3. 26. οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή.
[κλόνος alii.]
14. 1. βροτὸς γὰρ γεννητὸς. ὀλιγόβιος, καὶ πλήρης ὀργῆς.
[κλονήσεως Aq.]
37. 2. ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ κυρίου
39. 24. καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν.
Hab. 3. 2. ἐν τῷ ταραχθῆναι. ἐν ὀργῇ ἐλέους μνησθήσῃ

24. רֶגַע momentum.

Pſal. 29. 5. ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωή.
[ἀθροισμὸς Aq. συντέλεια alii.]

25. נוח quietus.

Pſal. 34. 23. καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

[ἀθρόα Aq. συναρπαγῆς Sym. συντελείᾳ alii.]

26. רוח ſpiritus.

Prov. 16. 32. ὁ δὲ κρατῶν ὀργῆς, καταλαμβανομένου πόλιν
Eſa. 59. 19. ἥξει ὡς ποταμὸς βίαιος ἡ ὀργὴ κυρίου

27. ex var. interpret.

[ὀργῇ alii. Deut. 11. 17.] Vide ὀργίζομαι.
[ὀργὴν alii. Jer. 48. 30.] Vide ἔργον.
[πράσσων ἐν ὀργῇ Sym. Prov. 21. 24.] Vide μνησικακέω.

28. ubi nihil eſt in textu Hebr.

Gen. 27. 44. ἕως οὗ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργήν.
Prov. 15. 1. ὀργὴ ἀπόλλυσι καὶ φρονίμους

29. Add. ex lib. apocr.

Syr. 25. 24. ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη γυνὴ
26. 9. ὀργὴ μεγάλη γυνὴ μέθυσος
27. 31. μῆνις καὶ ὀργὴ, καὶ ταῦτα ἐστι βδελύγματα
28. 3. ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργὴν
11. καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ
36. 6. ἔγειρον θυμὸν, καὶ ἔκχεον ὀργὴν
8. ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος
39. 28. οὕτως ὀργὴν αὐτοῦ ἔθνη κληρονομήσει
43. 19. φωνὴ βροντῆς αὐτοῦ ὠνείδισεν ὀργὴν
44. 16. ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα
45. 24. καὶ ἡ συναγωγὴ κορὲ ἐν θυμῷ καὶ ὀργῇ
25. καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς
47. 21. ἐβδέλυξας τὸ σπέρ. σου ἐπαγαγεῖν ὀργὴν.
48. 10. κοπάσαι ὀργὴν πρὸ θυμοῦ.
1 Mac. 1. 67. καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα
2 Mac. 4. 25. καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων
7. 38. στῆναι τὴν τοῦ παντοκράτορος ὀργήν.

ὀργὴ γίνεται. Ira fit. חָרָה אַף exardeo irâ.

2 Par. 25. 15. καὶ ἐγένετο ὀργὴ κυρίου ἐπὶ ἀμασίαν.

ὀργὴν ἐπάγω. Iram induco. זָעַם indignor.

Pſalm. 7. 12. καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.
Vide porrò alibi, Θυμὸς ὀργῆς. Θυμὸς ὀργῆς ἀκατάσχετος. ὀργὴ τοῦ Θυμοῦ.

Ὀργιάω. (potiùs ὀργιάζω ab ὄργια) Sacra celebro.

נְהָמָה rugitus.

Eſa. 5. 29. ὀργιῶσιν ὡς λέοντες, καὶ παρέστηκαν ὡς σκύμνοι.
[ὁρμῶσιν alii.]

Ὀργίζομαι. Iraſcor. 1. אָנַף

3 Reg. 11. 9. καὶ ὠργίσθη κύριος ἐπὶ σολομῶντι.
Pſalm. 2. 12. μήποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε.
59. 1. ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς.
[θυμωθεὶς Aq.]
78. 5. ἕως πότε κύριε ὀργισθήσῃ εἰς τέλος;
84. 5. μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν;
Eſa. 12. 1. διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου

2. אַף ira.

Deut. 11. 17. καὶ θυμωθεὶς ὀργισθῇ κύριος ἐφ' ὑμῖν.
[ὀργῇ alii.]

3. הֵרִיב hiph. à רִיב litigo.

Pſal. 101. 9. οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ. μηνιεῖ

4. זָנָה ſcortor.

Jud. 19. 2. καὶ ὠργίσθη αὐτῷ ἡ παλλακὴ αὐτοῦ.

5. בְּקֶצֶף in indignatione.

2 Par. 16. 10. ὅτι ὠργίσθη ἐπὶ τούτῳ, καὶ ἐλυπήσατο ἀσά.

6. חֵמָה בָּעֲרָה æſtus ira exardeſcit.

Eſth. 1. 13. καὶ ἐλυπήθη ὁ βασιλεὺς, καὶ ὠργίσθη.

7. חָרָה exardeo.

Gen. 31. 36. ὠργίσθη δὲ Ἰακὼβ, καὶ ἐμαχέσατο λάβαν
Exod. 22. 24. καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς.
32. 18. καὶ ὀργισθεὶς θυμῷ μωϋσῆς, ἔῤῥιψεν
Num. 22. 22. καὶ ὠργίσθη θυμῷ ὁ θεὸς, ὅτι ἐπορεύετο αὐτός.
25. 3. καὶ ὠργίσθη θυμῷ κύριος τῷ ἰσραήλ.
32. 10. καὶ ὠργίσθη θυμῷ κύριος ἐν τῇ ἡμ. ἐκείνῃ
13. καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν ἰσραὴλ

Deut. 6. 15. μὴ ὀργισθῇ θυμῷ κύριος ὁ θεός σου ἐν σοὶ
7. 4. καὶ ὀργισθήσεται θυμῷ κύριος εἰς ὑμᾶς
29. 27. καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὴν γῆν ἐκείνην.
31. 17. καὶ ὀργισθήσομαι θυμῷ αὐτοῖς ἐν τῇ ἡμ. ἐκείνῃ
Joſ. 23. 16. καὶ ὀργισθήσεται θυμῷ κύριος ἐν ὑμῖν.
Jud. 2. 14. καὶ ὠργίσθη θυμῷ κύριος τῷ ἰσραήλ.
20. καὶ ὠργίσθη θυμῷ κύριος ἐν τῷ ἰσραήλ.
3. 8. καὶ ὠργίσθη θυμῷ κύριος ἐν τῷ ἰσραήλ.
6. 39. μὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοί.
1 Reg. 17. 28. καὶ ὠργίσθη θυμῷ ἐλιὰβ ἐν τῷ δαβίδ.
4 Reg. 13. 3. καὶ ὠργίσθη θυμῷ κύριος ἐν τῷ ἰσραήλ.
Pſal. 17. 9. καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.
105. 38. καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ
123. 3. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς
Hab. 3. 7. μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε;

8. חָרָה אַף exardeo irâ.

Exod. 32. 21. μὴ ὀργίζου κύριε, σὺ γὰρ οἶδας τοῦ λαοῦ τούτου.
Job. 32. 2. ὠργίσθη δὲ ἐλιοῦς ὁ τοῦ βαραχιὴλ ὁ βουζίτης.
ὠργίσθη δὲ τῷ ἰὼβ σφόδρα, διότι ἀπέφηνεν.
3. καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα.

9. כָּעַס indignor.

Nehe. 4. 1. καὶ ὠργίσθη ἐπὶ πολὺ, καὶ ἐξεγέλα ἐπὶ τοῖς ἰουδ.
Pſal. 111. 10. ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται.

10. עָשַׁן fumo.

Pſal. 73. 1. ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;
79. 5. ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;

11. קָצַף efferveſco.

Gen. 40. 2. καὶ ὠργίσθη φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ
41. 10. φαραὼ ὠργίσθη τοῖς παισὶν αὐτοῦ.
Num. 31. 14. καὶ ὠργίσθη μωϋσῆς ἐπὶ τοῖς ἐπισκόποις.
Eccleſ. 5. 5. ἵνα μὴ ὀργισθῇ ὁ θεὸς ἐπὶ φωνῇ σου.
Eſa. 57. 16. οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν
64. 5. οὐδὲ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν
9. μὴ ὀργίζου ἡμῖν σφόδρα, καὶ μὴ ἐν καιρῷ.
Thren. 5. 22. ὠργίσθης ἐφ' ἡμᾶς ἕως σφόδρα
Zach. 1. 2. ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν.
15. καὶ ὀργὴν μεγάλην ὀργίζομαι ἐπὶ τὰ ἔθνη.
ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα.

12. קֶצֶף fervor iræ.

2 Par. 29. 8. καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν ἰούδαν

13. רָגַז contremiſco.

Gen. 45. 24. καὶ εἶπεν αὐτοῖς, μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.
Exod. 15. 14. ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον.
[ἐκλονήθησαν Aq. ἐταράχθησαν Schol.]
4 Reg. 19. 27. διὰ τὸ ὀργισθῆναί σε ἐπ' ἐμέ.
Pſalm. 4. 5. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε
[κλονεῖσθε Aq.]
Prov. 29. 9. ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος καταγελᾶται

14. ex var. interpret.

[ὠργίσθη alii. Jud. 10. 7.] Vide θυμόομαι.
[ὠργίσθησαν Sym. 1 Reg. 29. 4.] Vide λυπέω.

15. Add. ex lib. apocr.

1 Mac. 6. 59. ὠργίσθησαν, καὶ ἐποίησαν ταῦτα πάντα.

οὐκ ὀργίζομαι. Non iraſcor.

נִחַם niph. conſolationem admitto.

Eſa. 57. 6. ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; λέγει κύριος

ὀργίλος. Iracundus. 1. חֵמָה æſtus iræ.

Prov. 22. 24. φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου.
29. 22. ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίας.

2. כַּעַס indignatio.

Prov. 21. 19. ἢ μετὰ γυναικὸς μαχ. καὶ γλωσσώδους καὶ ὀργίλου.
[θυμώδους Sym.]

Ὀρεινός. (ab ὄρος mons) Montanus. paſſim legitur ἡ ὀρεινὴ ſcil. χώρα. Montana regio.

1. הַר mons.

Gen. 14. 10. οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν ἔφυγον
Num. 13. 30. καὶ ὁ ἀμοῤῥαῖος κατοικεῖ ἐν τῇ ὀρεινῇ.
Deut. 2. 37. τὰ συγκυροῦντα. καὶ τὰς πόλεις τὰς ἐν τῇ ὀρεινῇ.
11. 11. κληρονομῆσαι αὐτὴν, γῆ ὀρεινὴ καὶ πεδεινή.
Joſ. 2. 16. εἰς τὴν ὀρεινὴν ἀπέλθετε, μὴ συναντήσωσιν.
22. καὶ ἐπορεύθησαν καὶ ἦλθοσαν εἰς τὴν ὀρεινήν.

Joſ. 9. 1.

Joſ. 9. 1. οἱ βασιλεῖς. οἱ ἐν τῇ ὀρεινῇ, καὶ ἐν τῇ πεδινῇ.
10. 6. οἱ κατοικοῦντες πάντες οἱ βασιλεῖς. τὴν ὀρεινήν.
40. καὶ ἐπάταξεν ἰησοῦς πᾶσαν τὴν γῆν τὴν ὀρεινήν.
11. 2. εἰς τὴν ὀρεινὴν εἰς ῥαβὰθ ἀπέναντι χενερέθ.
16. καὶ ἔλαβεν ἰησοῦς πᾶσαν τὴν γῆν ταύτ., τὴν ὀρεινήν.
21. καὶ ἐξωλόθρευσε τοὺς ἐνακεὶμ ἐκ τῆς ὀρεινῆς.
13. 6. πᾶς ὁ κατοικῶν τὴν ὀρεινὴν, ἀπὸ τοῦ λιβάνου.
15. 48. καὶ ἐν τῇ ὀρεινῇ σαφεὶρ καὶ ἰεθὲρ καὶ σωχώ.
16. 1. καὶ ἀναβήσεται ἀπὸ ἰεριχὼ εἰς τὴν ὀρεινήν.
18. 13. καὶ καταβήσεται τὰ ὅρια. ἐπὶ τὴν ὀρεινήν.
Jud. 1. 9. πολεμῆσαι. τῷ κατοικοῦντι τὴν ὀρεινήν.
2Par. 26. 10. γεωργοὶ καὶ ἀμπελουργοὶ ἐν τῇ ὀρεινῇ.
[τοῖς ὄρεσιν *alii.*]
Prov. 27. 25. καὶ κεῖρε χλόην, καὶ συνάγαγε χόρτον ὀρεινόν.
Jere. 33. 13. ἐν πόλεσι τῆς ὀρεινῆς, καὶ ἐν πόλεσι τῆς σεφηλά.
[*alii hic paſſim legunt* ἡ ὀρεινὴ, Num. 13: 30. Joſ. 2: 22. 10: 6, 40. 11: 2. 13: 6. 16: 1. 18: 13.]
2. נגב *auſtralis plaga.*
Zach. 7. 7. καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο.

Ὄρεξις. Appetitus, cupiditas.

Add. ex lib. apoc.

Sap. 14. 2. ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησεν
16. 2. εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν
3. καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται
Syr. 18. 30. καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου
23. 5. κοιλίας ὄρεξις, καὶ συνουσιασμὸς μὴ καταλαβέτω.

Ὄρθιος. Rectus. 1. ישר

Ezech. 1. 7. καὶ τὰ σκέλη αὐτῶν ὀρθὰ, καὶ πτερωτοί.
2. *ex var. interpret.*
[ὄρθιος *alii.* 2 Reg. 10. 11.] *Vide* ὀρθός.

ὀρθός. *idem.* 1. זך *purus.*

Prov. 21. 8. ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ.
2. ישר
Prov. 8. 9. καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.
11. 6. δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς.
12. 6. στόμα δὲ ὀρθῶν ῥύσεται αὐτούς.
[εὐθεῖαι *Aq. Sym. Tho. utroque hoc loco*]
16. ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν.
14. 12. ἔστιν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις
16. 14. δεκτὰ βασιλεῖ. λόγους δὲ ὀρθοὺς ἀγαπᾷ.
25. εἰσὶν ὁδοὶ δοκοῦσαι ὀρθαὶ εἶναι ἀνδρί.
21. 8. ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ.
Jere. 31. 9. αὐλίζων ἐπὶ διώρυγας ὑδάτων ἐν ὁδῷ ὀρθῇ.
Michæ. 2. 7. οὐχὶ λόγοι αὐτοῦ καλοί. καὶ ὀρθοὶ πεπόρευνται;
3. 9. καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες.
3. ישר *rectitudo.*
Prov. 4. 11. ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.
4. מישרים *plur. idem.*
Prov. 8. 6. καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά.
23. 16. πρὸς τὰ ἐμὰ χείλη ἐὰν ὀρθὰ ὦσι.
[εὐθῆ *Sym.* εὐθεῖα *Aq.*]
5. מפתח *part. pih. ſolvens,*
Belg. die ſich los maecht.
3Reg. 20. 11. μὴ καυχάσθω ὁ κυρτὸς, ὡς ὀρθός.
[ὄρθιος *alii.*]
6. נבון *part. niph. à* בון *intelligens.*
Prov. 15. 15. καρδία ὀρθὴ ζητεῖ αἴσθησιν.
7. נכח *coram.*
Prov. 4. 25. οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν
[εἰς τὸ εὐθὺ *Sym.* κατεναντίον. *Aq. Tho.*]
8. רומה *elatio.*
Mich. 2. 3. καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ, ὅτι καιρὸς πονηρός ἐστιν
9. *Add. ex lib. apocr.*
Epiſ. Jer. 24. μήτε ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ
3 Eſd. 9. 46. ἐν τῷ λῦσαι τὸν νόμον, π. ὀρθοὶ ἔστησαν
Syr. 24. 34. ὅτι παιδείαν ὡς ὄρθρον φωτιῶ.

ὀρθὸν ποιέω. Rectum facio, rectifico.
פלס *pih. appendo, libro.*
Prov. 4. 26. ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ, καὶ τὰς ὁδούς σου.

ὀρθοτομέω. Rectè ſeco, *it.* rectifico.
ישר *pih.*
Prov. 3. 6. γνώριζε αὐτὴν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου.
11. 5. δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς.

ὀρθοτριχέω. Crines erectos habeo.
ex var. interpret.
[ὀρθοτριχέω *Sym.* Pſal. 118. 119.]
Vide καθηλόω.

ὀρθόω. Erigo. 1. זקף *part. peh. Chald.*
Eſdr. 6. 11. καὶ ὠρθωμένος παγήσεται ἐπ' αὐτοῦ
2. נצב *niph. à* יצב *conſiſto.*
Gen. 37. 6. καὶ ἀνέστη τὸ ἐμὸν δράγμα, καὶ ὠρθώθη
3. עמד *idem.*
Eſth. 7. 9. καὶ ὤρθωται ἐν τοῖς αὐλαῖς πηχῶν πεντήκοντα.
4. *ex var. interpret.*
[ὀρθωθήσεται *alii.* Jer. 30. 17.] *Vide* ὁρμάω.
5. *Add. ex lib. apocr.*
Epiſt. Jer. 24. μήτε ἐὰν πέσῃ, οὐ μὴ ὀρθωθῇ
3 Eſdr. 1. 21. καὶ ὠρθώθη τὰ ἔργα ἰωσίου ἐνώπιον τοῦ κυρ.
Syr. 27. 14. λαλιὰ πολυόρκου ὀρθώσει τρίχας.

ὀρθῶς. Rectè. 1. היטיב *hiph. à* יטב *benefacio.*
Gen. 4. 7. οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον
Deut. 5. 28. ὅσα ἐλάλησαν. ὀρθῶς πάντα ἐλάλησαν.
18. 17. καὶ εἶπε κύριος. ὀρθῶς πάντα ὅσα ἐλάλησαν
1Reg. 16. 17. ἴδετε δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα.
[ἀγαθῶς *alii.*]
2. טוב *bonus.*
Gen. 40. 16. καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς, ὅτι ὀρθῶς συνέκρινε.
Exod. 18. 17. οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο;
3. בישר *in rectitudine.*
Prov. 14. 2. ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν κύριον
[ἐν εὐθύτητι *Aq. Sym. Tho.*]
4. כן
Num. 27. 7. ὀρθῶς θυγατέρες σαλπαὰδ λελαλήκασι.
5. *Add. ex lib. apocr.*
Sap. 2. 1. εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς
6. 4. οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον
1Mac. 11. 43. νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας.
Vide Ἀναστρεφόμενος ὀρθῶς.

Ὀρθρίζω. Matutino, manè ſurgo.

1. השכים *hiph.*

Gen. 19. 2. καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν
27. ὤρθρισε δὲ ἀβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον.
20. 8. καὶ ὤρθρισεν ἀβιμέλεχ τῷ πρωῒ, καὶ ἐκάλεσε.
Exod. 8. 20. / 9. 14. } ὄρθρισον τὸ πρωῒ, καὶ στῆθι ἐναντίον φαραὼ
24. 4. ὀρθρίσας δὲ μωϋσῆς τὸ πρωῒ, ᾠκοδόμησε θυσίας.
32. 6. καὶ ὀρθρίσας τῇ ἐπαύριον ἀνεβίβασεν.
34. 4. καὶ ὀρθρίσας μωϋσῆς τὸ πρωῒ, ἀνέβη εἰς τὸ ὄρος.
Num. 14. 40. καὶ ὀρθρίσαντες τὸ πρωῒ, ἀνέβησαν ἐπὶ τὴν κορυφήν.
Joſu. 3. 1. / 7. 16. } καὶ ὤρθρισεν ἰησοῦς τὸ πρωῒ.
8. 10. καὶ ὀρθρίσας ἰησοῦς τὸ πρωῒ, ἐπεσκέψατο.
14. καὶ ἔσπευσε καὶ ὤρθρισε, καὶ ἐξῆλθον οἱ ἄνδρες.
Jud. 6. 28. καὶ ὤρθρισαν οἱ ἄνδρες τῆς πόλεως τὸ πρωῒ.
38. καὶ ὤρθρισε γεδεὼν τῇ ἐπαύριον, καὶ ἐπεπίασε.
7. 1. καὶ ὤρθρισεν ἰεροβάαλ, αὐτός ἐστι γεδεών.
9. 33. ὀρθριεῖς καὶ ἐκτενεῖς ἐπὶ τὴν πόλιν.
19. 5. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ἀνέστη τοῦ ἀπελθεῖν
8. καὶ ὤρθρισε τὸ πρωῒ τῇ ἡμέρᾳ τῇ πέμπτῃ.
9. καὶ ὀρθριεῖτε αὔριον εἰς τὴν ὁδὸν ὑμῶν
21. 4. καὶ ὤρθρισαν ὁ λαὸς, καὶ ᾠκοδόμησαν
1Reg. 1. 19. καὶ ὀρθρίζουσι τὸ πρωῒ καὶ προσκυνοῦσι.
5. 3. καὶ ὤρθρισαν οἱ ἀζώτιοι τῇ ἐπαύριον
4. καὶ ὤρθρισαν τῇ ἐπαύριον τὸ πρωῒ.

1Reg. 15. 12. καὶ ὤρθρισε σαμουὴλ, καὶ ἐπορεύθη.
17. 16. προσῄει ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ὀψίζων.
20. καὶ ὤρθρισε δαβὶδ τὸ πρωῒ, καὶ ἀφῆκε τὰ πρόβατα.
29. 10. καὶ νῦν ὄρθρισον τὸ πρωῒ σὺ καὶ οἱ παῖδες.
καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ, καὶ φωτισάτω ὑμῖν
11. καὶ ὤρθρισε δαβὶδ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.
2Reg. 15. 2. καὶ ὤρθρισεν ἀβεσσαλὼμ, καὶ ἔςη ἀνὰ χεῖρα.
4Reg. 3. 22. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ὁ ἥλιος ἀνέτειλεν.
6. 15. ὤρθρισεν ὁ λειτουργὸς ἐλισσαιὲ ἀναςῆναι
19. 35. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ἰδοὺ πάντες σώματα.
2Par. 20. 20. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ἐξῆλθον εἰς τὴν ἔρημον.
29. 20. καὶ ὤρθρισε ἐζεκίας ὁ βασιλεὺς καὶ συνήγαγεν.
36. 15. καὶ ἀπέςειλε κύριος. ὀρθρίζων καὶ ἀποςέλλων.
Pſal. 126. 2. εἰς μάτην ὑμῖν ἐςὶ τὸ ὀρθρίζειν
Cant. 7. 12. ὀρθρίσωμεν εἰς ἀμπελῶνας, ἴδωμεν.
Jere. 11. 7. ὀρθρίζων συνεμαρτυράμην λέγων
25. 3. καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων καὶ λέγων
29. 19. οὓς ἀπέςαλκα πρὸς αὐτοὺς. ὀρθρίζων καὶ ἀποςέλλ. §.
Sopho. 3. 8. ἑτοιμάζου, ὄρθρισον, διέφθαρται πᾶσα.

2. שִׁחֵר pih. manè quæro.

Job. 7. 20. νυνὶ δὲ. ἀπελεύσομαι, ὀρθρίζων δὲ οὐκ ἔτι εἰμί.
8. 5. σὺ δὲ ὄρθριζε πρὸς κύριον παντοκράτορα δεόμενος
24. 5. ἐξέρχονται. ὀρθρίζοντες εἰς ἄλωσιν §.
Pſal. 62. 1. θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω
77. 38. καὶ ἐπέςρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν.
Eſa. 26. 9. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ.
Oſeæ. 6. 1. ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρὸς μὲ, λέγοντες.

3. *ex var. interpret.*

[ὀρθρίζει *alii*. Prov. 13. 25.] *Vide* ἐπιμελῶς.

4. *Add. ex lib. apocr.*

Tob. 9. 4. καὶ ὤρθρισαν κοινῶς, καὶ ἦλθον εἰς τὸν γάμον
Sap. 6. 14. ὁ ὀρθρίσας ἐπ᾽ αὐτὴν οὐ κοπιάσει
Syr. 4. 13. καὶ οἱ ὀρθρίζοντες πρὸς ζωὴν ἐμπλησθήσονται.
6. 38. ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτὸν
32. 15. οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν
39. 6. τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι.
Draco. 20. καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωῒ
1Mac. 4. 52. καὶ ὤρθρισαν τὸ πρωῒ τῇ πέμπτῃ
6. 33. ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωῒ
11. 67. καὶ ὤρθρισαν τὸ πρωῒ εἰς τὸ πεδίον νασώρ.

ὀρθρινός. Matutinus. 1. מַשְׁכִּים part. hiph.

Oſeæ. 6. 4. } καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη.
13. 3. }

2. *Add. ex lib. apocr.*

Sap. 11. 23. ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.

ὄρθριος. *idem.* שַׁעַר *porta.* (*fortè leg.* שַׁחַר)

Job. 29. 7. ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει.

ὀρθρισμός. Matutina inveſtigatio.

ex var. interpret.

[ὀρθρισμὸς *Aq.* Prov. 11. 27.] *Vide* τεκταίνω.

ὄρθρος. Manè, diluculum.

1. אַשְׁמֻרָה *vigilia.*

Pſal. 62. 7. ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
[φυλακῇ *Sym.*]
118. 147. προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον

2. בֹּקֶר

Exod. 19. 16. ἐγένετο δὲ τῇ ἡμ. τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον
Jud. 16. 1. ἕως διαφαύσῃ ὁ ὄρθρος μείνωμεν. [πρωῒ *alii.*]
Eſth. 5. 14. ὄρθρου δὲ εἶπον τῷ βασιλεῖ, καὶ κρεμασθήτω.
Prov. 7. 18. ἀλλὰ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου.

3. הַשְׁכֵּים *hiph.*

Jerem. 7. 24. καὶ ἐξαπέςειλα πρὸς αὐτοὺς. ἡμέρας καὶ ὄρθρου.
25. 4. καὶ ἀπέςελλον πρὸς ὑμᾶς. τοὺς προφήτας ὄρθρου.
26. 5. οὓς ἐγὼ ἀποςέλλω πρὸς ὑμᾶς ὄρθρου.
32. 33. καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου, καὶ οὐκ ἤκουσαν.
35. 14. καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς ὄρθρου.
44. 4. καὶ ἀπέςειλα πρὸς ὑμᾶς. τοὺς προφήτας ὄρθρου

4. שַׁחַר *aurora.*

Gen. 19. 15. ἡνίκα δὲ ὄρθρος ἐγένετο, ἐσπούδαζον οἱ ἄγγελοι.
32. 26. ἀπόςειλόν με, ἀνέβη γὰρ ὁ ὄρθρος.
Joſ. 6. 15. ἀνέςησαν ἐν τῇ ἀναβάσει ὄρθρου.
Jud. 19. 25. καὶ ἐξαπέςειλαν. ἅμα τῷ ἀναβαίνειν τὸν ὄρθρον
1Reg. 9. 26. καὶ ἐγένετο ὡς ἀνέβαινεν ὁ ὄρθρος
Nehe. 4. 21. ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως ἐξόδου τῶν ἄςρων
Pſal. 56. 11. } ἐξεγέρθητι ψαλτήριον. ἐξεγερθήσομαι ὄρθρου.
107. 2. }
138. 8. ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ᾽ ὄρθρον
Cant. 6. 9. τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος.
Oſeæ. 6. 3. ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν.
11. 1. ὄρθρου ἀπεῤῥίφησαν, ἀπεῤῥίφη βασιλεὺς ἰσραὴλ
Joel. 2. 2. ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη.
Amos. 4. 13. ποιῶ ὄρθρον καὶ ὀμίχλην, καὶ ἐπιβαίνων.

5. *ex var. interpret.*

[πρὸς τὸν ὄρθρον *alii.* Jud. 19. 26.] *Vide* πρωῒ.

ὄρθρος ἐςί. Diluculum eſt. הֵקִיץ *hiph.* à קִיץ *evigilo.*

Prov. 23. 35. ἐγὼ δὲ οὐκ ᾔδειν, πότε ὄρθρος ἔςαι.
[ἐξυπνισθήσομαι *Aq. Sym. Tho.*]

Ὁρίζω. Termino, definio. 1. אָסַר *ligo.*

Num. 30. 3. ἢ ὁρίσηται ὁρισμῷ περὶ τῆς ψυχῆς αὐτοῦ.
4. ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς
5. καὶ τοὺς ὁρισμ. αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.
5, 12. καὶ πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσατο καὶ τῆς ψυχῆς.
6. καὶ τοὺς ὁρισμ. οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς
7. καὶ αἱ εὐχαὶ. ὅσα ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς
8, 9. καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.

2. גְּבוּל *terminus.* (*hic leg.* גָּבַל)

Num. 34. 6. ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ, τοῦτο ἔςαι ὑμῖν.
Joſ. 13. 27. ὁ ἰορδάνης ὁριεῖ ἕως τοῦ μέρους τῆς θαλάσσης.
15. 11. καὶ τὰ ὅρια αὐτῶν. ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ.
18. 19. καὶ ὁ ἰορδάνης ὁριεῖ αὐτὸ ἀπὸ μέρους ἀνατολῶν

3. הִפְרִיד *hiph. ſeparo.*

Prov. 18. 18. ἀντιλογίας παύει κλῆρος, ἐν δὲ δυνάςαις ὁρίζει.
[διαλείψει *Aq.* διαςελεῖ *Sym. Tho.*]

4. כִּלָּה *pih. perficio.*

Prov. 16. 30. ἐπιδάκνων δὲ. ὁρίζει πάντα τὰ κακά.

5. *ex var. interpret.*

[ὁριεῖς *Tho.* Job. 22. 28.] *Vide* ἀποκαθίςημι.
[ὥρισε *Sym.* Prov. 2. 18.] *Vide* τίθημι.

Ὀριτός. (*idem quod* ὀρεινὸς, *ab* ὄρος mons.)

Montanus. 1. הֲרָרִי *mons meus, vel montanus.*

Jere. 17. 3. ὦ ὀρινὲ, ἐν τῷ πεδίῳ τὸν πλοῦτόν σου. δώσω.

2. *ex var. interpret.*

[ὀρινὸς *paſſim legitur pro* ὀρεινὸς *locis ſeqq.*
Num. 13: 30. Joſ. 2: 22. 10: 6, 40. 11: 2.
13: 6. 16: 1. 18: 13.] *Vide in* ὀρεινός.

Ὅριον. Terminus. 1. אֶרֶץ כָּבוּל *terra cabul, i. e. diſplicens & infrugifera.*

3Reg. 9. 13. καὶ ἐκάλεσεν αὐτὰς ὅριον, ἕως τῆς ἡμέρας ταύτης

2. גְּבֻל *termino.* (*hic leg.* גְּבוּל)

Zach. 9. 2. καὶ ἐν ἐμαθὲ τοῖς ὁρίοις αὐτῆς.

3. גְּבוּל

Gen. 10. 19. καὶ ἐγένετο τὰ ὅρια τῶν χαναναίων ἀπὸ σιδῶνος.
23. 17. καὶ δένδρον. ὅ ἐςιν ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κύκλῳ
47. 21. ἀπ᾽ ἄκρων ὁρίων αἰγύπτου ἕως τῶν ἄκρων.
Exod. 8. 2. ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις
10. 4. ἐπάξω. ἀκρίδα πολλὴν ἐπὶ πάντα τὰ ὅριά σου
14. καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια αἰγύπτου.
13. 7. οὐδὲ ἔςαι σοὶ ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου
23. 31. καὶ θήσω τὰ ὅριά σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης.
34. 24. καὶ ἐμπλατύνω τὰ ὅριά σου, οὐκ ἐπιθυμήσει.
Num. 20. 16. ἐσμὲν ἐν κάδης πόλει ἐκ μέρους τῶν ὁρίων σου.
17. ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου.
21. καὶ οὐκ ἠθέλησεν. παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ
23. καὶ ἀπῆραν ἐν ὢρ τῷ ὄρει ἐπὶ τῶν ὁρίων τῆς γῆς.
21. 13. τὸ ἐξέχον ἀπὸ τῶν ὁρίων τῶν ἀμοῤῥαίων,
ἔςι γὰρ ἀρνῶν ὅρια μωάβ.
15. καὶ πρόσκειται τοῖς ὁρίοις μωάβ.
22. ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου.
23. καὶ οὐκ ἔδωκε σηὼν. παρελθεῖν διὰ τῶν ὁρίων σου.
24. ὅτι ἰαζὴρ ὅρια υἱῶν ἀμμών ἐςι.

Num. 22. 36. ἐξῆλθεν. εἰς πόλιν μωὰβ, ἥ ἐστιν ἐπὶ τῶν ὁρίων
ἀρνῶν, ἥ ἐστιν ἐκ μέρους τῶν ὁρίων.
32. 33. τὴν γῆν καὶ τὰς πόλεις σὺν τοῖς ὁρίοις αὐτῆς.
33. 44. παρενέβαλον. ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων μωάβ.
34. 2. αὕτη ἔσται ὑμῖν. γῆ χαναὰν σὺν τοῖς ὁρίοις αὐτῆς.
3. καὶ ἔσται ὑμῖν τὰ ὅρια πρὸς λίβα, ἀπὸ μέρους
4. καὶ κυκλώσει ὑμᾶς τὰ ὅρια ἀπὸ λιβός.
5. καὶ κυκλώσει τὰ ὅρια ἀπὸ ἀσελμωνά.
6. καὶ τὰ ὅρια τῆς θαλάσσης ἔσται ὑμῖν.
τοῦτο ἔσται ὑμῖν τὰ ὅρια τῆς θαλάσσης.
8. καὶ ἔσται ἡ διέξοδος αὐτοῦ, τὰ ὅρια σαδαδά.
9. καὶ ἐξελεύσεται τὰ ὅρια ζεφρωνά. τοῦτο
ἔσται ὑμῖν τὰ ὅρια ἀπὸ βοῤῥᾶ
10. καὶ καταμετρήσετε ὑμῖν ἑαυτοῖς τὰ ὅρια ἀνατ.
11. καὶ καταβήσετε τὰ ὅρια ἀπὸ σεπφαμὰρ βηλά.
καὶ καταβήσετε τὰ ὅρια βηλά.
12. καὶ καταβήσετε τὰ ὅρια ἐπὶ τὸν ἰορδάνην. αὕτη
αὕτη ἔσται ὑμῖν ἡ γῆ καὶ τὰ ὅρια αὐτῆς κύκλῳ
35. 26. ἐὰν δὲ. ἐξέλθῃ ὁ φονεύσας τὰ ὅρια τῆς πόλεως.
27. καὶ εὕρῃ αὐτὸν ὁ ἀγχ. ἔξω τῶν ὁρίων τῆς πόλεως.
Deut. 2. 4. παραπορεύεσθε διὰ τῶν ὁρίων τῶν ἀδελφῶν.
18. σὺ παραπορεύῃ σήμερον τὰ ὅρια μωάβ.
3. 14. ἔλαβε πᾶσαν τὴν περίχ. ἕως τῶν ὁρίων γαργασή.
16. δέδωκα ἀπὸ τῆς γαλαάδ. μέσον τοῦ χειμάῤῥου ὅριον
ὁ χειμάῤῥους ὅριον τοῖς υἱοῖς ἀμμάν.
17. καὶ ἡ ἀραβὰ καὶ ὁ ἰορδάνης ὅριον ἀπὸ μαχανερέθ.
11. 24. καὶ ἕως τῆς θαλάσσης. ἔσται τὰ ὅρια ὑμῶν
12. 20. ἐὰν δὲ ἐμπλατύνῃ κύριος. τὰ ὅριά σου
16. 4. οὐκ ὀφθήσεταί σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου.
19. 3. καὶ τριμερεῖς τὰ ὅρια τῆς γῆς σου.
8. ἐὰν δὲ ἐμπλατύνῃ κύριος ὁ θεός σου τὰ ὅριά σου.
14. οὐ μετακινήσεις ὅρια τοῦ πλησίον σου.
27. 17. ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον.
28. 40. ἐλαῖαι ἔσονταί σοι ἐν πᾶσι τοῖς ὁρίοις σου.
Joſ. 1. 4. καὶ ἕως τῆς θαλάσσης ἔσται τὰ ὅρια ὑμῶν ἐσχάτης.
12. 2. ἕως ἰαβὸκ τοῦ χειμάῤῥου ὅρια υἱῶν ἀμμών.
4. καὶ ὅρια ὢγ βασιλέως βασὰν, ὃς ὑπελείφθη. §.
5. καὶ πᾶσαν τὴν γῆν βασὰν, ἕως ὁρίων γεσουρί.
ὁρίων σηὼν βασιλέως ἐσεβών.
13. 3. ἕως τῶν ὁρίων ἀκκαρῶν ἐξ εὐωνύμων.
4. καὶ οἱ σιδώνιοι. ἕως τῶν ὁρίων τῶν ἀμοῤῥαίων.
10. ὃς ἐβασίλευσεν. ἕως τῶν ὁρίων υἱῶν ἀμμῶν
11. καὶ τὰ ὅρια γαισουρὶ, καὶ τοῦ μαχαθί.
16. καὶ ἐγενήθη αὐτῷ τὰ ὅρια ἀπὸ ἀροήρ.
23. ἐγένετο δὲ τὰ ὅρια υἱῶν ρουβὴν, ὁ ἰορδάνης
ὅριον, αὕτη ἡ κληρονομία υἱῶν ῥουβήν.
25. καὶ ἐγένετο αὐτῶν τὰ ὅρια ἰαζήρ.
26. ἕως ῥαμώθ. καὶ μαναὶμ ἕως τῶν ὁρίων δαβείρ.
30. καὶ ἐγένετο τὰ ὅρια αὐτῶν ἀπὸ μαναΐμ.
15. 1. καὶ ἐγένετο. ἀπὸ τῶν ὁρίων τῆς ἰδουμαίας.
2. καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ λιβός.
4. καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ἐπὶ τὴν θάλ.
ταῦτά ἐστιν αὐτῶν τὰ ὅρια ἀπὸ λιβός.
5. καὶ τὰ ὅρια ἀπὸ ἀνατολῶν πᾶσα ἡ θάλασσα
ἡ ἁλυκή. καὶ τὰ ὅρια αὐτῶν ἐπὶ βοῤῥᾶν.
6. ἐπιβαίνει τὰ ὅρια ἐπὶ βηθαγλά. καὶ
προσαναβαίνει τὰ ὅρια ἐπὶ λίθον βαιών.
7. καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ δαιβηρά.
καὶ διεκβάλλει τὸ ὅριον ἐπὶ τὸ ὕδωρ.
8. καὶ ἀναβαίνει τὰ ὅρια εἰς φάραγγα ἐνόμ.
καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ κορυφὴν ὄρους.
9. καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ κορυφῆς τοῦ ὄρους.
καὶ ἐξάξει τὸ ὅριον εἰς βαάλ.
10. καὶ περιελεύσεται ὅριον ἀπὸ βαὰλ ἐπὶ θάλασσαν.
11. καὶ διεκβάλλει τὸ ὅριον τοῦ νότου ἀκκαρὼν ἐπὶ
βοῤῥᾶν, καὶ διεκβάλλει τὰ ὅρια εἰς σακχαρωνά.
καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ θάλασσαν,
καὶ τὰ ὅρια αὐτῶν ἀπὸ θαλάσσης.
12. ταῦτα τὰ ὅρια υἱῶν ἰούδα κύκλῳ κατὰ δήμους αὐτῶν
21. ἐγενήθησαν δὲ αἱ πόλεις αὐτῶν. ἐπὶ ὁρίων ἐδώμ.
16. 2. καὶ παρελεύσεται ἐπὶ τὰ ὅρια τοῦ ἀρχιαταρώθ.
3. καὶ διελεύσεται ἐπὶ τὴν θάλασσαν, ἐπὶ τὰ ὅρια τοῦ
ἕως τῶν ὁρίων βαιθωρῶν τῆς κάτω. ἰεφλαιτὶ,
4. καὶ ἐγενήθη τὰ ὅρια υἱῶν ἐφραὶμ κατὰ δήμους.
5. καὶ ἐγενήθη τὰ ὅρια τῆς κληρονομίας αὐτῶν.
6. καὶ διελεύσεται τὰ ὅρια ἐπὶ τὴν θάλασσαν.
καὶ περιελεύσεται τὸ ὅριον ἐπ' ἀνατολάς. §.
8. καὶ ἀπὸ ταφφοὺθ παρελεύσεται τὰ ὅρια ἐπὶ θάλ.
17. 7. καὶ ἐγενήθη ὅρια υἱῶν μανασσῆ ἀπὸ ἀσήρ.
καὶ πορεύσεται τὰ ὅρια ἐπὶ ἰαμείν.
8. καὶ ταπφοὺ ἐπὶ τῶν ὁρίων μανασσῆ.

Joſ. 17. 9. καὶ καταβήσεται τὰ ὅρια ἐπὶ φάραγγα καρὰ
ἐπὶ λίβα. καὶ ὅρια μανασσῆ ἐπὶ βοῤῥᾶν.
10. καὶ ἔσται ἡ θάλασσα ὅρια αὐτῆς.
18. 5. ἰούδας στήσεται αὐτοῖς ὅριον ἀπὸ λιβὸς, καὶ οἱ
υἱοὶ ἰωσὴφ στήσονται ἐπὶ τὸ ὅριον αὐτῶν ἀπὸ βοῤῥᾶ
11. καὶ ἐξῆλθεν ὅρια τοῦ κλήρου αὐτῶν ἀνὰ μέσον.
12. καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ βοῤῥᾶ. καὶ προσ-
αναβήσεται τὸ ὅριον κατὰ νώτου ἰεριχώ.
13. καὶ διελεύσεται ἐκεῖθεν τὰ ὅρια λουζά. καὶ
καταβήσεται τὰ ὅρια ἀπὸ ἀταρὼθ ἐδδάρ.
14. καὶ διελεύσεται τὰ ὅρια, καὶ περιελεύσεται.
15. καὶ διελεύσεται τὰ ὅρια θαλάσσης εἰς γαὶν
16. καὶ καταβήσεται τὰ ὅρια ἀπὸ μέρους τοῦ ὄρους
19. καὶ παρελεύσεται τὰ ὅρια ἐπὶ νῶτον βηθαγλά.
καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ λοφίαν.
ταῦτα τὰ ὅριά ἐστιν ἀπὸ λιβός.
19. 10. καὶ ἔσται τὰ ὅρια τῆς κληρονομίας αὐτῶν.
11. καὶ προσαναβαίνει τὰ ὅρια αὐτῶν εἰς θάλασσαν.
12. καὶ ἀναστρέψει, ἐπὶ τὰ ὅρια ἰχασελὼθ θαβώρ
14. καὶ περιελεύσεται τὰ ὅρια ἐπὶ βοῤῥᾶ.
18. καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν ἰεζραέλ.
22. καὶ συνάψει τὰ ὅρια ἐπὶ θαβώρ. καὶ ἔσται.
ἡ διέξοδος τῶν ὁρίων αὐτῶν ὁ ἰορδάνης
25. καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν χελκάθ.
29. καὶ ἀναστρέψει τὰ ὅρια εἰς ῥαμά.
καὶ ἀναστρέψει τὰ ὅρια ἐπὶ ὡσά.
33. καὶ ἐγένετο τὰ ὅρια αὐτῶν μοολάφ.
34. καὶ ἐπιστρέψει τὰ ὅρια ἐπὶ θάλασσαν.
41. καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν σαραά.
45. καὶ ἀπὸ θαλάσσης ἰερακῶν. ὅριον πλησίον ἰόππης
46. καὶ ἐξῆλθε τὸ ὅριον υἱῶν δὰν, καὶ ἐπορεύθησαν.
22. 25. καὶ ὅρια ἔθηκε κύριος ἀνὰ μέσον ὑμῶν καὶ ἡμῶν
24. 30. καὶ ἔθαψαν αὐτὸν πρὸς τοῖς ὁρίοις τοῦ κλήρου αὐτοῦ.
Jud. 1. 18. καὶ ἐκληρονόμ. ἰούδας τὴν γάζαν, καὶ τὸ ὅριον αὐτῆς,
καὶ τὴν ἀσκαλῶνα καὶ τὸ ὅριον αὐτῆς,
καὶ τὴν ἀκκαρὼν καὶ τὸ ὅριον αὐτῆς
38. καὶ τὸ ὅριον τοῦ ἀμοῤῥαίου ἐπάνω τῆς ἀναβάσεως.
11. 18. καὶ οὐκ εἰσῆλθον εἰς τὸ ὅριον μωάβ,
ὅτι ἀρνῶν ὅριον μωάβ
20. καὶ οὐκ ἠθέλησε σηὼν διελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ.
22. καὶ ἐκληρονόμησε πᾶν τὸ ὅριον τοῦ ἀμοῤῥαίου.
13. 18. κατὰ τὴν ὁδὸν τοῦ ὁρίου τοῦ ὑπερκειμένου. §.
1 Reg. 5. 6. καὶ ἐπάταξεν. τὴν ἄζωτον καὶ τὰ ὅρια αὐτῆς §.
6. 9. καὶ ὄψεσθε, εἰ ἐν ὁδῷ ὁρίου αὐτῆς πορεύσεται.
12. ἐπορεύοντο ὀπίσω αὐτῆς, ἕως ὁρίων βαιθσαμῦς
7. 13. καὶ οὐ προσέθεντο ἔτι ἐπελθεῖν εἰς ὅριον ἰσραὴλ
14. καὶ τὸ ὅριον ἰσραὴλ ἀφείλοντο ἐκ χειρὸς ἀλλοφύλων
11. 3. καὶ ἀποστελοῦμεν ἀγγέλους εἰς πᾶν ὅριον ἰσραήλ.
7. καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον ἰσραὴλ ἐν χειρὶ ἀγγ.
27. 1. ἀνῇ ἀπ' ἐμοῦ σαοὺλ τοῦ ζητεῖν με εἰς πᾶν ὅριον.
2 Reg. 21. 5. τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ ἰσραὴλ
3 Reg. 1. 3. καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου ἰσρ.
4. 21. καὶ σολομὼν ἦν ἄρχων. καὶ ἕως ὁρίων αἰγύπτου.
4 Reg. 3. 21. καὶ ἀνεβόησαν. καὶ ἔστησαν ἐπὶ τοῦ ὁρίου.
10. 34. καὶ ἐπάταξαν αὐτοὺς ἀζαὴλ ἐν παντὶ ὁρίῳ ἰσραὴλ
14. 25. αὐτὸς ἀπέστησε τὸ ὅριον ἰσραὴλ, ἀπὸ εἰσόδου.
15. 16. τότε ἐπάταξε. καὶ τὰ ὅρια αὐτῆς ἀπὸ θερσιλά
18. 8. αὐτὸς ἐπάταξε τοὺς ἀλλοφύλ. καὶ ἕως ὁρίου αὐτῆς
1 Par. 4. 10. ἐὰν. εὐλογήσῃς με, καὶ πληθύνῃς τὰ ὅριά μου.
6. 54. καὶ αὗται αἱ κατοικίαι. καὶ ἐν τοῖς ὁρίοις αὐτῶν
66. ἐγένοντο πόλεις τῶν ὁρίων αὐτῶν ἐκ φυλῆς ἐφρ.
2 Par. 9. 26. ἦν ἡγούμενος. καὶ ἕως ὁρίου αἰγύπτου.
11. 12. καὶ συνήχθησαν πρὸς αὐτὸν ἐκ πάντων τῶν ὁρίων
Job. 38. 20. εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν;
Pſal. 103. 10. ὅριον ἔθου ὃ οὐ παρελεύσονται.
104. 30. καὶ ἦλθε κυνόμυια, καὶ σκνίπες ἐν πᾶσι τοῖς ὁρίοις.
32. καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.
147. 3. ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην.
Prov. 15. 26. κατασπᾷ κύριος, ἐστήρισε τὸ ὅριον χήρας.
22. 28. μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου
23. 10. μὴ μεταθῇς ὅρια αἰώνια.
Eſa. 15. 8. συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς μωαβίτιδος.
19. 19. καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ
60. 18. οὐκ ἀκουσθήσεται. οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου
Jerem. 5. 22. τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ.
15. 13. δώσω ἀντάλλαγμα. καὶ ἐν πᾶσι τοῖς ὁρίοις σου.
17. 3. τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν π. τοῖς ὁρίοις σου.
31. 17. καὶ ἐπιστρέψονται οἱ υἱοὶ εἰς τὰ ὅρια αὐτῶν §.
Ezec. 27. 4. ἐν καρδίᾳ θαλάσσης τὰ ὅρια σου §.
29. 10. καὶ δώσω τὴν γῆν. καὶ ἕως ὁρίων αἰθιόπων.
40. 13. καὶ ὅριον ἔμπροσθεν τῶν παραστάδων πήχεως ἑνὸς §.
καὶ πήχεως ἑνὸς ὅριον ἔνθεν καὶ ἔνθεν. [ὅρος *alii.*]

Ezec. 43. 12. πάντα τὰ ὅρια αὐτοῦ κυκλόθεν ἅγια ἁγίων
45. 1. ἅγιον ἔσαι ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν
7. καὶ τὸ μῆκος. ἀπὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν, ἐπὶ τὰ ὅρια τὰ πρὸς ἀνατολὰς τῆς γῆς
47. 14. ταῦτα τὰ ὅρια κατακληρονομήσετε τῆς γῆς.
16. καὶ ταῦτα τὰ ὅρια τῆς γῆς, πρὸς βοῤῥᾶν.
17. τὰ ἀνὰ μέσον ὁρίων δαμασκοῦ, καὶ ἀνὰ μέσον ὁρίων αἰμὰθ, αὐλαὶ τοῦ σαυνὰν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων αὐρανίτιδος.
18. ταῦτα τὰ ὅρια ἀπὸ θαλάσσης, ἀπὸ τῆς αὐλῆς τοῦ αὐνὰν, ὅρια δαμασκοῦ, καὶ τὰ πρὸς βοῤῥᾶν κατὰ βοῤῥᾶν, καὶ τὸ ὅριον αἰμάθ.
48. 1. ὅριον δαμασκοῦ πρὸς βοῤῥᾶν κατὰ μέρος αἰμὰθ
2. καὶ ἀπὸ τῶν ὁρίων τοῦ δὰν, τὰ πρὸς ἀνατολάς.
3. καὶ ἀπὸ τῶν ὁρίων ἀσὴρ, ἀπὸ τῶν πρὸς ἀνατολάς.
4. καὶ ἀπὸ τῶν ὁρίων νεφθαλείμ.
5. καὶ ἀπὸ τῶν ὁρίων μανασσῆ.
6. καὶ ἀπὸ τῶν ὁρίων ἐφραΐμ.
7. καὶ ἀπὸ τῶν ὁρίων ῥουβήν.
8. καὶ ἀπὸ τῶν ὁρίων ἰούδα.
12. ἀπὸ τῶν ὁρίων τῶν λευϊτῶν
13. τοῖς δὲ λευΐταις τὰ ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων
22. ἀνὰ μέσον τῶν ὁρίων ἰούδα, καὶ ἀνὰ μέσον τῶν ὁρίων βενιαμεῖν τῷ ἀφηγουμένῳ ἔσαι
24. καὶ ἀπὸ τῶν ὁρίων τῶν βενιαμίν.
25. καὶ ἀπὸ τῶν ὁρίων συμεών.
26. καὶ ἀπὸ τῶν ὁρίων τῶν ἰσσάχαρ.
27. καὶ ἀπὸ τῶν ὁρίων τῶν ζαβουλών.
28. καὶ ἀπὸ τῶν ὁρίων τῶν γὰδ ἕως λίβα, καὶ ἔσαι τὰ ὅρια αὐτοῦ ἀπὸ θαιμάν.

Osee. 5. 10. ἐγένοντο οἱ ἄρχοντες ἰούδα ὡς μετατιθέντες ὅρια
Joel. 3. 6. ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν.
Amos. 1. 13. ὅπως ἐμπλατύνωσι τὰ ὅρια αὐτῶν.
6. 2. καὶ ἴδετε εἰς καλάνην. εἰ πλείονα τὰ ὅρια αὐτῶν ἐςὶ τῶν ὑμετέρων ὁρίων
Abd. ꝟ. 7. ἕως τῶν ὁρίων ἐξαπέςειλάν σε
Michæ. 5. 6. καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ἡμῶν.
Soph. 2. 8. καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου.
Mal. 1. 4. καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας.
5. ἐμεγαλύνθη κύριος ὑπεράνω τῶν ὁρίων τοῦ ἰσραὴλ

4. גבולה

Deut. 32. 8. ἔςησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ
Josu. 18. 20. τὰ ὅρια αὐτῆς κύκλῳ, κατὰ δήμους αὐτῶν.
49. τοῦ κληροδοτῆσαι τὴν γῆν εἰς τὰ ὅρια αὐτῶν
Job. 24. 2. ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν.
Esa. 10. 13. καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν.
28. 25. καὶ πάλιν σπείρει πυρὸν. καὶ ζέαν ἐν τοῖς ὁρίοις σου;

5. גורל *fors.*

Jos. 15. 1. καὶ ἐγένετο τὰ ὅρια φυλῆς υἱῶν ἰούδα κατὰ δήμους.
16. 1. καὶ ἐγένετο τὰ ὅρια υἱῶν ἰωσὴφ ἀπὸ τοῦ ἰορδάνου.
17. 1. καὶ ἐγένετο τὰ ὅρια φυλῆς υἱῶν μανασσῆ.
21. 20. καὶ ἐγενήθη ἡ πόλις τῶν ὁρίων αὐτῶν.
40. καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν πόλεις δώδεκα.

6. גלילה

Jos. 13. 2. πάντα ὅρια φυλιςιεὶμ, καὶ πᾶς ὁ γεσουρί.

7. הר *mons.*

Malach. 1. 3. καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμόν.

8. חק *decretum.*

Job. 38. 10. ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα.

9. יד *manus.*

1 Par. 7. 29. καὶ ἕως ὁρίων υἱῶν μανασσῆ, βαιθάν.
[ἐχόμενα *alii.*]

10. פאה *angulus.*

Ezec. 47. 18. καὶ τὸ ὅριον βοῤῥᾶ, κατὰ πρόσωπον ἀνατολῶν.

11. קצוים *plur. fines.*

Esa. 26. 15. μακρὰν ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς

12. רחוק *longinquus.*

Esa. 57. 9. καὶ ἀπέςειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου.

13. שדה *ager.*

Jud. 20. 6. ἐξαπέςειλα ἐν παντὶ ὁρίῳ κληρονομίας ἰσραὴλ

14. שם *nomen.*

Ezec. 48. 1. καὶ ταῦτα τὰ ὅρια τῶν φυλῶν, ἀπὸ τῆς ἀρχῆς.
[ὀνόματα *alii.*]

15. *ex var. interpret.*

[ὁρίῳ *alii.* Jud. 2. 9.] *Vide* ὅρος.

[ὁρίῳ *alii.* Jud. 19. 29.] *Vide* φυλή.
[ὅρια *alii.* Psal. 73. 18.] *Vide* ὡραῖος.
[τοῖς ὁρίοις *alii.* 1 Reg. 10. 2.] *Vide* ὅρος.

16. *ubi nihil eſt in Hebr. textu.*

Josu. 22. 11. καὶ τὸ ἥμισυ φυλῆς μαν. βωμὸν ἐφ᾽ ὁρίων γῆς.

ὁρισμός. Determinatio. 1. אסר *obligatio.*

Num. 30. 3. ἢ ὁρίσεται ὁρισμῷ περὶ τῆς ψυχῆς αὐτοῦ
4. ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς
9. καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.
11. καὶ ὁ ὁρισμὸς ὁ κατὰ τῆς ψυχῆς αὐτῆς μεθ᾽ ὅρκου
12. καὶ πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.

2. אסר *idem.*

Num. 30. 5. καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς. καὶ τοὺς ὁρισμοὺς αὐτῆς.
6. καὶ τοὺς ὁρισμοὺς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.
8. καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.
15. καὶ τοὺς ὁρισμοὺς τοὺς ἐπ᾽ αὐτῆς ςήσει αὐτῇ.

3. אסר : אסרא *Chald. interdictum.*

Dan. 6. 7. τοῦ ςῆσαι ςάσει βασιλικῇ, καὶ ἐνισχῦσαι ὁρισμόν.
8. νῦν οὖν βασιλεῦ, ςῆσον τὸν ὁρισμὸν
12. λέγουσι τῷ βασιλεῖ, οὐχ ὁρισμὸν ἔταξας.
15. πᾶν ὁρισμὸν καὶ ςάσιν. οὐδεῖ παραλλάξαι.

4. מבטא שפתים *pronunciatum labiorum.*

Num. 30. 9. καὶ οἱ ὁρισμοὶ αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς.

5. *Add. ex lib. apocr.*

2 Mac. 12. 25. τὸν ὁρισμὸν ἀποκαταςῆναί τε αὐτοὺς ἀπημάν.

Ὁρκίζω. Adjuro, juramento obſtringo.

1. השביע *hiph.*

